κεχυμένων χοᾶν. κλύε δέ μοι, σέβας,
κλύ', ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενός.
ὀτοτοτοτοτοτοτοῖ,
ἴτω τις δορυσθενὴς ἀνὴρ † ἀναλυτὴρ δόμων,
Σκυθικά τ' ἐν χεροῖν παλίντον'
ἐν ἔργῳ βέλη † 'πιπάλλων Ἄρης
σχέδιά τ' αὐτόκωπα νωμῶν ξίφη.

ΗΛ. ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ· 164
νέου δὲ μύθου τοῦδε κοινωνήσατε. 166
ΧΟ. λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ.
ΗΛ. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.
ΧΟ. τίνος ποτ' ἀνδρὸς ἢ βαθυζώνου κόρης;
ΗΛ. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
ΧΟ. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;

156. *κλύε δέ μοι κλύε | σεβάσω δέσποτα* M. *κλύε δέ μοι, σέβας. κλύ', ὦ δέσποτ'* Bamb. prob. Weckl.

157. *σεβάσω δέσποτα* mss. *σέβας, ὦ* — Turn. *μοι σέβας, κλύ, ὦ* Bamb. *σέβας, κλύ', ὦ δέσποτ', ἐξ* — Hart. Fort. *τάδ' ἔπη, δέσποτ'*.

158. *ὀτοτοτοῖ τοτοῖ* M. *ὀτοτοτοτοτοτοτοῖ* Dind. Weckl.

159—163. Delet A. Ludwig.

159. *ἰώ τις* mss. *ἴτω τις* Both. Weckl. *ἴοι τις* Jongh. Fort. *ἴθι τις*. *δορυσθενὴς*] *δορυσσόης* conj. Dind. Recte, opinor. Cf. Soph. Aj. 1188. *δορυσσοήτων μόχθων*. Her. 744. *δορυσσόητα στρατόν*. Oed. C. 1313. *δορυσσοῦς Ἀμφιάρεως*. *ἀναλυτὴρ*] Fort. *ἴθι λυτήρ* (et *ἴθι τις* pro *ἰώ τις*), aut *ἀπολυτήρ* (deliverer). Cf. 943. *ἀναφυγὰς* (*ἀποφυγὰς?*) *κακῶν*. *δόμων*] *πόνων* probabiliter Hart.

160. *σκυθιτάτ'* (*σ* sup. *ι* ab *διορθωτῇ*) M. *σκύθης τατ'* G. Seidl. Blom. Bamb. etc. *Σκυθικά τ'* Rob. *Σκυθιστὶ* Martin. *Σκύθην χεροῖν παλιντόνοιν ἐν ἔργῳ 'πιπάλλων Ἄρη* Heimsoeth. *παλίντονα βέλη* Hart. "Versus in fine defectus." (Dind.)

162. *ἐν ἔργῳ* mss. *ἐν* om. Headlam. *ἐναργῶς* Both. *ἐνεργῶς* Oberdick. Fort. *ἐνεργῇ* aut *ἐνεργοῖν* (*χεροῖν*). *βέλη* mss. *ξίφη* Pauw. et recentes edd. ex schol. delet Heims. Aliud quid nomen requirit Pal. *'πιπάλλων* mss. *'πιάλλων* Musgr. Leg. *τινάσσων* aut *τιταίνων* (Hom.). Cf. Soph. Tr. 511. *τινάσσων παλίντονα τόξα*. Qu. *παλίντονα τόξ' ἀντιπάλλων* (*ἀντιτείνων*). *Ἄρης* mss. Suspectum. Fort. *Ἄρεως* (et *ἐν ἔργῳ*).

164. *ΗΛ.* add. Turn. om. M. qui in seqq. lineolas habet. *ἀπότου* (*ἀπό του* M.) mss. *γαπότους* Turn. Post h. v. legitur 123. in mss.

167. *ἀνορχεῖται* mss. *ἄν· ὀρχεῖται* Turn.

168. *τάφῳ*] Qu. *πέλας* (gl. *τοῦ τάφου*).

171. *παλαιὰ*] Qu. *γεραιά*.